Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XLIV. Narratio Dionysii de Serapione.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

Caput XLIV.

Narratio Dionyſii de Serapione.

Huc refer Niceph. c.6.l.6.

Idem porrò Fabio Dionyſius Alexandrinus Epiſcopus ſcribens, poſtquam & alia multa quæ ad pœnitentiam ſpectant in ſuis ad illum literis expoſuit, & martyrum qui recens Alexandriæ martyrium ſubierant, certamina commemoravit: Inter cetera facinus quoddam refert admiratione digniſſimum. Quod huic etiam hiſtoriæ noſtræ inſerere neceſſarium duxi. Eſt autem hujuſmodi: Unum tibi exemplum proponam quod apud nos contigit. Erat in B hac urbe Serapion quidam ſenex è numero fidelium: qui reliquo quidem anteactæ vitæ tempore nulli culpæ obnoxius fuerat. Sed in perſecutione lapſus, ſæpenumero veniam petierat; nec quiſquam ei attendebat, eo quod ſacrificaſſet. Idem poſtea morbo correptus, vocis uſu ſenſuque omni carens triduo permanſit. Quarto demum die paululum recreatus, nepotem ex filia ad ſe vocat: & quouſque tandem, inquit, me detinetis, fili? Properate quæſo, & me quantocius abſolvite. Accerſe mihi unum ex Preſbyteris. Hæc cum dixiſſet, rurſus illum vox deſtituit. Puer ad C Preſbyterum concurrit. Jam nox erat: Preſbyter autem ægrotabat. Sed quoniam in mandatis dederam, ut morituris ſi peterent, & maximè ſi antea ſuppliciter poſtulaſſent, venia indulgeretur, quò bonæ ſpei pleni ex hac vita migrarent; exiguam Euchariſtiæ partem puero tradidit, jubens ut in aquâ intinctam, ſeni in os inſtillaret. Redit igitur puer buccellam afferens. Et cum appropinquaret: priuſquam ingrederetur; recreatus iterum ſenex: Veniſti, inquit, fili. Ac Preſbyter quidem ipſe venire non potuit. Tu verò fac citius quod im- D peratum eſt: & dimitte me. Mox puer buccellam intinxit & in os ſenis infudit. Qui ea paulatim abſorpta, continuo animam exhalavit. An non igitur perſpicuè apparet, eum reſervatum fuiſſe, ac tantiſper in vita permanſiſſe, quoad reconciliaretur, & deleto jam crimine, pro multis quæ geſſerat bonis operibus à Chriſto agnoſci poſſet & prædicari. Hæc Dionyſius.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ΄.

Περὶ Σαραπίωνος ἱστορία Διονυσίου.

Τῷ δ᾽ αὐτῷ τούτῳ Φαβίῳ ὑποκατακλινομένῳ πως τῷ σχίσματι, καὶ Διονύσιος ὁ κατ᾽ Ἀλεξάνδρειαν ἐπιστείλας, πολλά τε ἄλλα περὶ μετανοίας ἐν τοῖς πρὸς αὐτὸν γράμμασι διελθὼν, τῶν τε κατ᾽ Ἀλεξάνδρειαν ἔναγχος τότε μαρτυρησάντων τοὺς ἀγῶνας διιὼν, μετὰ τῆς ἄλλης ἱστορίας, πρᾶγμά τι μεστὸν θαύματος διηγεῖται. ὃ καὶ αὐτὸ ἀναγκαῖον τῇδε παραδοῦναι τῇ γραφῇ, οὕτως ἔχον. Ἓν δέ B σοι τοῦτο παράδειγμα παρ᾽ ἡμῖν συμβεβηκὸς ἐκθήσομαι. Σαραπίων τις ἦν παρ᾽ ἡμῖν πιστὸς γέρων. ἀμέμπτως μὲν τὸν πολὺν διαβιώσας χρόνον. ἐν δὲ τῷ πειρασμῷ πεσών. οὗτος πολλάκις ἐδεῖτο, καὶ οὐδεὶς προσεῖχεν αὐτῷ, καὶ γὰρ ἐτεθύκει. ἐν νόσῳ δὲ γενόμενος, τριῶν ἑξῆς ἡμερῶν ἄφωνος καὶ ἀναίσθητος διετέλεσε. βραχὺ δ᾽ ἀνασφήλας τῇ τετάρτῃ, προσεκαλέσατο τὸν θυγατριδοῦν· καὶ μέχρι τίνος φησὶν ὦ τέκνον με κατέχετε· δέομαι σπεύσατε, καί με θᾶττον ἀπολύσατε. τῶν πρεσβυτέρων μοί τινα κάλεσον. καὶ ταῦτα εἰπὼν, πάλιν ἦν ἄφωνος. C ἔδραμεν ὁ παῖς ἐπὶ τὸν πρεσβύτερον· νὺξ δὲ ἦν, κἀκεῖνος ἠσθένει. ἀφικέσθαι μὲν οὖν οὐκ ἠδυνήθη. ἐντολῆς δὲ ὑπ᾽ ἐμοῦ δεδομένης, τοὺς ἀπαλλαττομένους τοῦ βίου, εἰ δέοιντο, καὶ μάλιστα εἰ καὶ πρότερον ἱκετεύσαντες τύχοιεν, ἀφίεσθαι, ἵν᾽ εὐέλπιδες ἀπαλλάττωνται, βραχὺ τῆς εὐχαριστίας ἐπέδωκεν τῷ παιδαρίῳ, ἀποβρέξαι κελεύσας. καὶ τῷ πρεσβύτῃ κατὰ τοῦ στόματος ἐπιστάξαι. ἐπανῆκεν ὁ παῖς φέρων· ἐγγὺς δὲ γενομένου, πρὶν εἰσελθεῖν ἀνενέγκας πάλιν Σαραπίων, ἥκεις ἔφη τέκνον· καὶ ὁ μὲν πρεσβύ- D τερος ἐλθεῖν οὐκ ἠδυνήθη. σὺ δὲ ποίησον ταχέως τὸ προσταχθὲν, καὶ ἀπάλλαττέ με. ἀπέβρεξεν ὁ παῖς, καὶ ἅμα τε ἐνέχεε τῷ στόματι, καὶ μικρὸν ἐκεῖνος καταβροχθίσας, εὐθέως ἀπέδωκε τὸ πνεῦμα. ἆρ᾽ οὐκ ἐναργῶς διετηρήθη, καὶ παρέμεινεν ἕως λυθῇ, καὶ τῆς ἁμαρτίας ἐξαλειφθείσης, ἐπὶ πολλοῖς οἷς ἔπραξε καλοῖς ὁμολογηθῆναι δυνηθῇ; ταῦτα ὁ Διονύσιος.